**ἄρρυθμος / arrhythmus**

Choerob. 233. 9 sqq. λογαοιδικὰ δ᾽ (*scil.* δακτυλικὰ μέτρα) ἐκλήθησαν, ἐπειδὴ ἔν τισιν ἴσα ἀμέτροις δοκοῦσιν ὡς ἐπὶ λόγου εἶναι ἄνευ τινὸς μέτρου διὰ τὸ ἄρρυθμον.

Philop. in Aristot. *analyt. post.* I 12. 22, p. 77b. 16 (*Comm. in Aristot. Gr.* XIII 3, p. 151. 7 sqq. Wallies) τὸ ἄρρυθμον διττόν, τὸ μὲν ὃ μηδ᾽ ὅλως πέφυκε ῥυθμὸν ἔχειν, οἷον εἴ τις τὸ σημεῖον λέγοι ἄρρυθμον τῷ μὴ πεφυκέναι ἔχειν ῥυθμόν, τὸ δὲ ὃ ἔχει μέν, κακῶς δὲ ἔχει, ὥσπερ φαμὲν τὸν στίχον ἄρρυθμον τὸν κακόρρυθμον ... 18 sq. τὸν στίχον τὸν κακόρρυθμον ἄρρυθμόν φαμεν.

Philop. in Aristot. *analyt. post.* I 12. 30, p. 77b. 24 (*Comm. in Aristot. Gr.* XIII 3, p. 153. 16 sqq. Wallies) διττὸν γὰρ τοῦτο [φησίν] ὥσπερ τὸ ἄρρυθμον. τὸ ἀγεωμέτρητον δῆλον ὅτι διττὸν ὥσπερ καὶ τὸ ἄρρυθμον ἢ τὸ μηδ᾽ ὅλως ἔχον, ὥσπερ τὸ σημεῖον ἄρρυθμον ... ἢ τὸ φαύλως ἔχον, ὥσπερ ὁ κακόρρυθμος στίχος ἄρρυθμος.

Philop. in Aristot. analyt. post. I 12. 32, p. 77b. 26 (Comm. in Aristot. Gr. XIII 3, p. 154. 5 sq. Wallies) τὸ ἀγεωμέτρητον ἐρώτημα ὥσπερ τὸ ἄρρυθμον, ἢ τὸ μηδ᾽ ὅλως ἔχον ἢ τὸ φαύλως ἔχον.

Evstath. in [Hom.] *Il.* I 1 (I, p. 19. 10 sqq. Valk) μέτρον μὲν γὰρ αὐτοῖς (*scil.* τοῖς δημοτικοῖς στίχοις) πεντεκαίδεκα συλλαβαί· οἱ δὲ πολλοὶ καὶ εἰς ἑπτακαίδεκα ἢ καὶ πλείονας αὐτούς ποτε παρεκτείνουσι συλλαβάς, αἵτινες, αἱ πλείονες δηλαδὴ τῶν πεντεκαίδεκα, εἰ μὲν μετὰ συμφώνων λαλοῦνται, γελῶνται ὡς ἄρρυθμοι καὶ σκώπτονται ὡς πολύποδες.

Anon. in Aristot. *rhet*. III 4. 3, p. 1406b. 36 (*Comm. in Aristot. Gr.* XXI 2, p. 179. 2 sqq. Rabe) τὰ μέτρα, οἷον τὸ ([Hom.] *Il.* I 1) ‘μῆνιν ἄειδε, θεά’, <εἰ> διαλύσεις εἰς τὸ ‘μ’ καὶ τὸ ‘η’ καὶ ἁπλῶς εἰς τὰ στοιχεῖα, ἐξ ὧν συνετέθη, φαίνονται οὐδὲν καὶ ἄρρυθμα.

Anon. in Aristot. *rhet*. III 8. 2, p. 1408b. 26 (*Comm. in Aristot. Gr.* XXI 2, p. 190. 28 sqq. Rabe) τὸ δὲ ἄρρυθμον ἀπέραντόν ἐστιν ἤτοι οὐκ ἔχει ὡρισμένον ἀριθμὸν ὁ ἄρρυθμος καὶ πεζὸς λόγος· ὁ μὲν ἔμμετρος λόγος οἷον ὁ στίχος ἔχει ὡρισμένον ἀριθμὸν τὴν ἑξαποδίαν, ὁ δὲ ἄρρυθμος ἀόριστον ἔχει τὸ μέτρον· ποτὲ μὲν γὰρ τὸ κῶλον ἔχει δεκαπέντε συλλαβάς, ποτὲ δὲ ιη′, ποτὲ ιβ′, ποτὲ κ′. δεῖ δὲ καὶ τὸ ἄρρυθμον ἤτοι τὰ πεζὰ κῶλα πεπεράνθαι ἤτοι μετρεῖσθαι μέτρῳ τινὶ ἀορίστῳ, ἀλλ᾽ οὐ μέτρῳ ὡρισμένῳ, ὥσπερ τῇ ἑξαποδίᾳ ὁ ἡρωικὸς καὶ ἰαμβικὸς στίχος τῇ διποδίᾳ, ἀλλὰ ποτὲ μὲν ιβ′ συλλαβαῖς, ποτὲ ιη′, ποτὲ κ′.

Schol. A in Hephaest. 125. 16 sqq. τὰ γὰρ εὔρυθμα τῶν ἐπῶν οὐ συναπαρτιζομένας ἔχουσι τὰς βάσεις τοῖς μέρεσι τοῦ λόγου ὡς τό· ([Hom.] *Il.* I 214)

ὕβριος εἵνεκα τῆσδε·

ἄρρυθμον γὰρ τοῦτο.

Mart. Cap. IX 972 (p. 374. 13 sqq. Willis) sed eorum temporum, quae ad numeros copulantur, alia sunt, quae errhythma tempora nominantur, alia quae arrhythma, tertia quae rhythmoide perhibentur … arrhythma sunt, quae sibi nulla omnino lege consentiunt ac sine certa ratione coniuncta sunt. [*F.R.*]